Universitätsbibliothek Paderborn

Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Apanta Ta Ellēnisti Heuriskomena

Cui idem præfixit Origeniana, Tripartitum opus, quo Origenis narratur vita, doctrina excutitur, scripta recensentur

Origenes

Rothomagi, 1668

Ex Homilia XXXIX. Explanationvm in Ieremiam Prophetam:

urn:nbn:de:hbz:466:1-25059

quentur in tribunalibus : vbi alij quidem examinant, alij verò examinantur, hi autem etiam in doloribus graviſſimis verſantur. Tortores itaque ſcrutantur latera, ſcrutantur corpora; Dominus autem ſolus novum habet ſcrutandi modum : ſcrutatur enim corda; & in ſolius Domini poteſtate eſt ſcrutari corda & renes. Latronum hic latera ex præſcripto præſidis fodicantur; ibi autem non ex præſcripto Dei, ſed ab ipſomet Domino renes & corda cujuſque examinantur. Niſi fortè hic dixero, eum quidem cui hoc injungitur eſſe Filium, eum verò qui præcipit eſſe Patrem, & Verbum eſſe quod ſcrutatur corda & renes, & omnibus torturis omnibuſque doloribus graviora eſſe tormenta Verbi, cùm corda reneſque ſcrutatur. Quamobrem agamus omnia, ne iſti inquiſitioni tradamur; quá inquiſitione minus quid arbitror pati eos qui traduntur dictis in Evangelio exactoribus: multis enim traduntur, fortaſſe pluribus exactoribus ſub initium, cùm necdum digni evaſerint vt vni verbo corda reneſque ſcrutanti tradantur. Dives ille necdum dignus erat, qui corda reneſque ſcrutanti traderetur; idcircò à pluribus torquebatur : poſtmodum autem etiam ille hoc patitur, niſi dolore excruciatus ſcrutinium ſuſtinuerit. Verumtamen ea quæ nos manent ſunt exactores, & ſcrutans corda & renes de peccatis noſtris : à quibus peccatis niſi ſtatim liberemur, in ijs hærebimus : ideò reſurgentes à Deo auxilium poſtulemus, vt in Chriſto Ieſu beatificemur; cui honor in ſæcula ſæculorum, Amen.

A σανιζομένων ἐπὶ τοῖς * δικαστηρίοις. ὅπου οἱ μὲν ἐτάζουσιν, οἱ δὲ ἐτάζονται, οὗτοι δέ εἰσι καὶ ἐν πόνοις βαρυτάτοις· οἱ μὲν οὖν κολασταὶ ἐτάζουσι πλευράς, ἐτάζουσι σώματα. κύριος δὲ μόνος καινὸν ἔχει τρόπον ἐτασμοῦ. ἐτάζων γὰρ ἐπὶ καρδίας. καὶ μόνῳ τῷ κυρίῳ * πρόσεστι δὲ ἐξετάζειν καρδίας καὶ νεφρούς· λῃσταὶ ἐνταῦθα ἐτάζονται κατὰ πρόσταξιν ἡγουμένου πλευράς. ἐκεῖ δὲ οὐκ ἐκ προστάξεως θεοῦ, ἀλλ᾽ ὑπ᾽ αὐτοῦ τοῦ κυρίου ἐτάζεταί τις νεφροὺς καὶ καρδίας· εἰ B μὴ ἄρα ἐνταῦθα λέγω, τὸν μὲν προστασσόμενον εἶναι τὸν υἱόν, τὸν δὲ προστάσσοντα εἶναι τὸν πατέρα, καὶ τὸν λόγον εἶναι τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς, καὶ πασῶν νομίζω βασάνων, πάντων τῶν πόνων βαρύτερα τὰ ἀπὸ τοῦ λόγου, ὅταν * ἐτάζηται καρδίας καὶ νεφρούς· διὸ πάντα πράττωμεν, ἵνα μὴ παραδοθῶμεν ἐκείνῳ τῷ ἐτασμῷ. οὗ ἐτασμοῦ οἴομαι ἔλαττον πάσχειν τοὺς παραδιδομένους τοῖς λεγομένοις ἐν τῷ εὐαγγελίῳ βασανισταῖς. πολλοῖς γὰρ παραδίδονται, C τάχα πλείοσι βασανισταῖς κατὰ τὴν ἀρχήν, οὐδέπω ἄξιοι γενόμενοι παραδίδοσθαι ἑνὶ λόγῳ τῷ ἐτάζοντι καρδίας καὶ νεφρούς· ὁ πλούσιος ἐκεῖνος οὐδέπω ἄξιος ἦν, παραδοθῆναι τῷ ἐτάζοντι καρδίας καὶ νεφρούς. διὰ τοῦτο * ἐπὶ πλειόνων ἐβασανίζετο. ὕστερον δὲ * καὶ ἐκεῖνος τοῦτο πάσχει, ἢ μὴ ὀδυνώμενος ἐξετάζεται· πλὴν τὰ * παραμένοντα ἡμᾶς ἐστι βασανισταί, καὶ ἐτάζων τὰς καρδίας καὶ νεφροὺς ἐπὶ τοῖς ἁμαρτήμασιν ἡμῶν. ὧν ἁμαρτημάτων εἰ μὴ τάχιον ἀπαλλαγῶμεν, ἐν τούτοις ἐσόμεθα· διὸ ἀναστάντες τὴν ἀπὸ θεοῦ βοήθειαν αἰτήσωμεν, ἵνα ἐν χριστῷ Ἰησοῦ μακαρισθῶμεν. ᾧ ἡ δόξα εἰς τοὺς * αἰῶνας τῶν αἰώνων. ἀμήν.

* Cod. Vat. δικαστηρίοις ἐξετάζονται.
* Cod. Vat. ἐξετάζειν.
* Cod. Vat. ἐτάζει.
* Cod. Vat. ὑπὸ
X. ἐν ᾧ ἐκεῖνος τοῦτο πάσχει, ἢ μὴ ὀδυνώμενος
* Cod. Vat. περιμένοντα
* Cod. Vat. αἰῶνας, ἀμήν.

EX HOMILIA XXXIX. EXPLANATIONVM in Ieremiam Prophetam; in illud:

Ier. 44.22. *Non poterat Dominus ſuſtinere à facie iniquitatis veſtræ.*

ΕΚ ΤΗΣ λθ' ΟΜΙΛΙΑΣ τῶν εἰς τὸν Ἱερεμίαν ἐξηγητικῶν. Εἰς τό·

Οὐκ ἠδύνατο κύριος φέρειν ἀπὸ προσώπου πονηρίας ὑμῶν·

Interprete IOANNE TARINO.

SI quando legens Scripturam incidas in ſententiam, in quá ſit lapis offenſionis, & petra ruinæ, accuſa teipſum; neque non

ΕΑ'ν ποτε ἀναγινώσκων τὴν γραφὴν προσκόψῃς νοήματι * ὄντι καλῷ λίθῳ προσκόμματος, καὶ πέτρᾳ σκανδάλου, αἰτιῶ σεαυ-

* X. τοῖς τοῦ λίθου

τόν· μὴ ἀπελπίσῃς γὰρ τὸν λίθον τοῦτον τοῦ προσκόμματος καὶ τὴν πέτραν τοῦ σκανδάλου ἔχειν νοήματα, ὥστ' ἂν πληροῦσθαι τὸ εἰρημένον· καὶ ὁ πιστεύων οὐ καταισχυνθήσεται· πίστευσον πρότερον, καὶ εὑρήσεις ὑπὸ τὸ νομιζόμενον σκάνδαλον πολλὴν ὠφέλειαν ἁγίαν. εἰ γὰρ ἡμεῖς ἐντολὴν ἔχομεν μὴ λέγειν ῥῆμα ἀργόν, ὡς δώσοντες περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως, καὶ ὅση δύναμις φιλοτιμούμεθα πᾶν ῥῆμα τὸ ἐξιὸν ἐκ τοῦ στόματος ἡμῶν ποιεῖν ἐργάζεσθαι καὶ ἐν ἡμῖν τοῖς λέγουσι καὶ ἐν τοῖς ἀκούουσι. τί χρὴ νοεῖν περὶ τῶν προφητῶν, ἢ ὅτι πᾶν ῥῆμα λαληθὲν διὰ στόματος αὐτῶν ἐργατικὸν ἦν; καὶ οὐ θαυμαστὸν εἰ πᾶν ῥῆμα τὸ λαλούμενον ὑπὸ τῶν προφητῶν εἰργάζετο ἔργον τὸ πρέπον ῥήματι. ἀλλὰ γὰρ οἶμαι ὅτι καὶ πᾶν θαυμάσιον γράμμα τὸ γεγραμμένον ἐν τοῖς λογίοις τοῦ θεοῦ ἐργάζεται. καὶ οὐκ ἔστιν ἰῶτα ἓν, ἢ μία κεραία γεγραμμένη ἐν τῇ γραφῇ, ἥτις τοῖς ἐπισταμένοις χρῆσθαι τῇ δυνάμει τῶν γραμμάτων, οὐκ ἐργάζεται τὸ ἑαυτῆς ἔργον· ὥσπερ δὲ ἐπὶ τῶν βοτανῶν ἑκάστη μὲν ἔχει δύναμιν, εἴτε εἰς τὴν ὑγείαν τῶν σωμάτων, εἴτε εἰς ὅ, τι δήποτε. οὐ πάντων δέ ἐστιν ἐπίστασθαι εἰς ὃ ἑκάστη τῶν βοτανῶν ἐστι χρήσιμος. ἀλλ' εἴ τινες ἐπιστήμην εἰλήφασιν, οὗτοι οἱ περὶ τὰς βοτάνας διατρίβοντες, ἵνα ἴδωσι καὶ πότε παραλαμβανομένη, καὶ ποῦ τῶν σωμάτων ἐπιτιθεμένη, καὶ τίνα τρόπον σκευαζομένη ὀνίνησι τὸν χρώμενον. * Οὕτως οἱονεί τις βοτανικός ἐστιν ὁ ἅγιος καὶ πνευματικός, ἀναλεγόμενος ἀπὸ τῶν ἱερῶν γραμμάτων ἕκαστον ἰῶτα, καὶ ἕκαστον τὸ τυχὸν στοιχεῖον, καὶ εὑρίσκων τὴν δύναμιν τοῦ γράμματος, καὶ εἰς ὅ, τι ἐστι χρήσιμον, καὶ ὅτι οὐδὲν περιττεύει τῶν γεγραμμένων· εἰ δὲ βούλει καὶ δευτέρου ἀκοῦσαι εἰς τοῦτο παραδείγματος, ἕκαστον μέλος τοῦ σώματος ἡμῶν ἐπί τινι ἔργῳ ὑπὸ τοῦ τεχνίτου θεοῦ γεγένηται. ἀλλ' οὐ πάντων ἐστὶν εἰδέναι τίς ἡ ἑκάστου τῶν μελῶν μέχρι τῶν τυχόντων δύναμις καὶ χρεία. οἱ γὰρ περὶ τὰς ἀνατομὰς πραγματευσάμενοι τῶν ἰατρῶν, δύνανται λέγειν ἕκαστον καὶ τὸ ἐλάχιστον μέλος εἰς τί χρήσιμον ὑπὸ τῆς προνοίας γεγένηται· νόει μοι τοίνυν καὶ τὰς γραφὰς τοῦτον τὸν τρόπον πάσας βοτάνας, ἢ ἓν τέλειον λόγου σῶμα· εἰ δὲ σὺ μήτε βοτανικὸς εἶ γραφῶν, μήτε ἀνατόμος τῶν προφητικῶν λόγων, μὴ νόμιζε περιττεύειν τι τῶν γεγραμμένων.

* ...

A credas lapidem hunc offenſionis habere
ſenſa illa, vt fiat quod dictum eſt: *Et qui cre-* Rom. 9 3.
dit non confundetur. Primùm crede, & in-
venies ſub illo offendiculo plurimum ſan-
ctæ vtilitatis. Si enim in mandato habemus,
ne verbum vanum & inutile dicamus, tan-
quam ipſius rationem in judicij die redditu-
ri; & quantum eniti poſſumus, id ſtude-
mus, vt omne verbum, quod ex ore noſtro
exit, aliquid efficiat & in nobis dicentibus
& in audientibus: quid igitur exiſtiman-
dum eſt de Prophetis; nónne omne ver-
B bum ab eorum ore profectum efficax fuiſſe?
Neque mirandum eſt, ſi quodcumque ver-
bum emittebant Prophetæ, opus efficiebat
verbis conveniens: ſed & arbitror omnem
mirabilem literam inter divina oracula per-
ſcriptam efficere, neque vnum iota eſſe,
aut vnum apicem in Scripturâ, qui opus
ſuum non efficiat in ijs qui virtute literarum
vti ſciunt. Quemadmodum autem herba-
rum ſingulæ ſuas habent vires, ſive ad ſani-
tatem corporum, ſive ad aliud quidpiam;
nec tamen ſciunt omnes cui quæque rei her-
ba ſit vtilis, ſed qui ſcientiâ illâ præditi ſunt,
C & in re herbariâ verſantur, vt ſciant quan-
do ſumpta, & cui parti corporum appoſita,
& quomodo parata & temperata vtenti
opem ferat. Ita herbarius, vt ita dicam, eſt
vir ſanctus & ſpiritualis, ſeligens è ſacris
Scripturis quodlibet iota, & quodlibet ob-
uium elementum, & literæ virtutem inve-
niens & quem ad vſum accommodari poſ-
ſit, & nihil in ſcriptis ſupervacaneum eſſe.
Si & alterum audire vis hujus rei exem-
plum, ſingula membra noſtri corporis ad
opus aliquod ab opifice Deo condita ſunt;
ſed non eſt omnium ſcire quæ ſingulorum
D ad minutiſſimum quodque poteſtas & vſus
ſit. Qui enim in corporibus diſſecandis oc-
cupantur Medici, dicere hæc ſigillatim poſ-
ſunt, & quem ad vſum minima pars corpo-
ris à providentiâ effecta ſit. Conſidera ita-
que Scripturas ad hunc modum, tamquam
omnes herbæ ſint, aut vnum perfectum ora-
tionis corpus: ſi verò neque herbarius es
Scripturarum, neque diſſector prophetico-
rum ſermonum, ne idcirco exiſtima in Scri-
pturis quidpiam redundare, ſed teipſum ſo-
lum, potius quàm literas ſacras accuſa,
E cùm rationem eorum quæ ſcripta ſunt, non
invenis. Hoc à me in vniverſum prooemium
dictum eſt, quod vniverſæ ſcripturæ accom-
modari poteſt, vt moneantur, qui hujus le-
ctioni ſe dedere cogitant, nullam non diſ-
cuſſam & diligenter perveſtigatam literam
prætermittere.

ἀλλὰ σεαυτὸν μόνον ἢ τὰ ἱερὰ γράμματα αἰτιῶ, ὅτε μὴ εὑρίσκεις τὸν λόγον τῶν γεγραμμένων· τοῦτό μοι τὸ προοίμιον εἴρηται καθολικῶς, χρήσιμον εἶναι δυνάμενον εἰς ὅλην τὴν γραφήν, ἵνα προτραπῶσιν οἱ θέλοντες προσέχειν τῇ ἀναγνώσει μηδὲν παραπέμπεσθαι ἀνεξέταστον καὶ ἀνεξερεύνητον γράμμα·